ἀποστόλοις· λέγει αὐτοῖς μετανοεῖτε· ἤγγι-
κε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν· θέμενος ἅμα
ἐντολάς, τὰς ἐν τελοῦσι τὴν μετάνοιαν καὶ
πλήρωσιν αὐτῶν· ἕως θανάτου ὥσει σεαυτόν·
ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ καὶ τοῦ
εὐαγγελίου, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν·
καὶ πάλιν ἀρνήσασθαι ἑαυτὸν κελεύων, προσ-
τίθησιν· ἔτι καὶ τὴν ἑαυτοῦ ψυχήν· καὶ σφεα-
ρίζη λέγει· ὁ λύσας μίαν τῶν ἐντολῶν τούτων τῶν ἐ-
λ λαχίστων, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ
τῶν οὐρανῶν· ἀλλ' οὖν ἕως θανάτου ὥσπερ τὴν με-
τάνοιαν καθὼς ἀποδέδεικται· ὁ πρὸ θανάτου
λείπων αὐτὴν τετελευτηκώς, λύει τὴν ἐντολὴν
ὑφορῶν τὸν θάνατον· καὶ παραβάτης ἐστὶ τῶν
τοῦ Χριστοῦ ἐντολῶν· ὅθεν μικροῖς τε καὶ μεγά-
λοις ἕως θανάτου, ἀτέλεστος ἡ μετάνοια· εἰ
γὰρ καὶ τὴν πρᾶξιν ἕως ἂν καταφθάσαι μὴ δυ-
νηθῶμεν, τῷ δὲ σκοπῷ ἐπιτηδεύειν ὀφεί-
λομεν· ἵνα μὴ κατὰ πρόθεσιν λύοντες
τὴν ἐντολήν, ὑποβληθῶμεν τῷ κρίματι·